Ἀρ. 292.-     Ιων 53     Ραι 124

X: 495

# Ἀκολουθία

## τῶν ἁγίων ὁσιομαρτύρων Χριστοῦ

# Βαραχησίου καὶ Ἰωνᾶ.

Ἡ μνήμη αὐτῶν τῇ 29 μαρτίου.

Συντεθεῖσα ἡ παροῦσα ἀκολουθία παρὰ τοῦ Δωροθέου ἱερομ. καὶ προσκυνητοῦ καὶ ἀρχιμανδρίτου.

Νῦν δὲ δαπάνῃ τῶν φιλοχρίστων συνδρομητῶν.

Ἐν Σμύρνῃ.

Τυπογραφεῖον Λεωνίδα Ι. Σκιανοπούλου.

— 1871. —

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Αγορά από Τ

Ραι 124

Σμύρνη

*Ἀκολουθία εἰς τοὺς Μεγαλομάρτυρας Ἰωνᾶν καὶ Βαραχήσιον συντεθεῖσα παρὰ τοῦ Πανοσιολογιωτάτου Ἀρχιμανδρίτου κυρ. Δωροθέου Βαρχησιοπολίτου εἰς δόξαν τοῦ παναγάθου Θεοῦ, καὶ εἰς δόξαν τῶν τοῦ Χριστοῦ Μαρτύρων, ἐν ᾗ προσετέθησαν καὶ τὰ ἐν τῷ Μηναίῳ προσόμοια τῶν Μαρτύρων, καὶ ὁ κανὼν αὐτῶν.*

Μαρτίου: κθ΄. τῶν Ἁγίων ἐνδόξων, καὶ μεγάλων Μαρτύρων Ἰωνᾶ καὶ Βαραχησίου.

Ἐν τῷ ἑσπερινῷ· εἰς τὸ κύριε ἐκέκραξα, ἱστῶμεν: ς καὶ ψάλομεν προσόμοια τῶν Μαρτύρων: ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Μάρτυς Βαραχήσιε, πολλῶν, πόνων ἐπιδόσεσι, φωτοειδὴς ἐχρημάτισας· πυρὸς νικήσας, γάρ, τὴν φλογώδη φύσιν, τῇ θερμῇ πρὸς Κύριον, ἀγάπῃ ἐκρεμάσθης μετέωρος, καὶ πιεζόμενος, τὰ ὀστᾶ πάντα συνέτριψας· διὰ τοῦτο πίστει σε γεραίρομεν.

Ἰωνᾶ θεσπέσιε, δεθεὶς ῥαβδισμοὺς ὑπήνεγκας, καὶ τῶν δακτύλων ἀφαίρεσιν γλωσσοτομούμενος, καὶ βραζούσῃ πίσσῃ συγκατακαιόμενος, πριστῆρσι δεινῶς μαστιζόμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ὕμνοις Βαραχήσιον πιστοί, Λάζαρον καὶ Ἄβιβον, καὶ Ἰωνᾶν εὐφημήσωμεν, Ναρσῆν Εὐκλείαν τε, Μάριν σὺν Βεήθῃ, Μαρωθᾶν τὸν ἔνδοξον, καὶ Σάββαν Ζανιθᾶν τε αἰτούμενοι, τούτων δεήσεσι, τῶν κακῶν λαβεῖν συγχώρησιν, καὶ εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἕτερα προσόμοια, ἦχος: δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τοὺς γενναίως ἀθλήσαντας, καὶ τυράννους νικήσαντας, Ἰωνᾶν τὸν θεῖον καὶ Βαραχήσιον, τοὺς τῶν Μαρτύρων ἀκραίμονας, ἐπαίνων ἐν στέμμασιν ἀναδήσαντες πιστοί, καταχρέως τιμήσωμεν ὡς πρεσβεύοντας ὑπὲρ πάντων Κυρίῳ τῶν ἐν πίστει, καὶ ἐν πόθῳ εὐφημούντων τὴν ἱερὰν αὐτῶν ἄθλησιν.

+

Ἀθλοφόρους ἐν ᾄσμασι, τοῦ Κυρίου τιμήσωμεν, τῆς δὲ χώρας φύλακας καὶ φρουροὺς ὑμῶν, τοὺς ὑπερμάχους τῆς πίστεως, σεπτὸν Βαραχήσιον, σὺν κλεινῷ τῷ Ἰωνᾷ, τοῦ Χριστοῦ τοὺς Θεράποντας, ὡς ἀσκήσαντας ἐν μονήρει σεμνῷ βίῳ εἰς τὸ πρῶτον, καὶ πρεσβεύοντας ἀπαύστως ὑπὲρ ἡμῶν πρὸς τὴν Κύριον.

Ἰωνᾶν τὸν Θεσπέσιον, καὶ κλεινὸν Βαραχήσιον, ὀρθοδόξων ἅπαντες δεῦτε παῖδες νῦν, τῆς χώρας ταύτης οἱ κάτοικοι, ἐνθέοις ἐν ᾄσμασιν, εὐφημήσωμεν αὐτούς, ὡς Τριάδα, τὴν ἄκτιστον, μεγαλύνοντας, ἐναντίων τυράννων καὶ ἀθέων, Βασιλέων παρανόμων. ὅθεν στεφάνων ἠξίωνται.

Δόξα ἦχος δ'.

Κρατεσθέντες τῷ Χριστῷ οἱ ἅγιοι Ἰωνᾶς καὶ Βαραχήσιος, γενναίῳ φρονήματι, τὸν κατὰ τοῦ βελίαρ πόλεμον συνεκρότησαν, καὶ τὸ κατ' αὐτοῦ τρόπαιον θεαρέστως ἔστησαν· καὶ γάρ, δι' ἀσκήσεως πρότερον τῆς σαρκὸς τὰ πάθη νεκρώσαντες, ὕστερον πρὸς τὸ τοῦ μαρτυρίου στάδιον, μεγαλοψύχως ηὐτομόλησαν, καὶ τὸν ἀσεβέστατον Τύραννον νικητικῶς καταισχύναντες, διπλοῦς τοὺς στεφάνους ἀσκήσεως καὶ ἀθλήσεως, ἐκ χειρὸς Κυρίου ἐδέξαντο. Καὶ νῦν ἐν οὐρανοῖς μετ' Ἀγγέλων χορεύοντες ἐν παρρησίᾳ πολλῇ, τῇ Παναγίᾳ καὶ Ζωαρχικῇ Τριάδι, λαμπρῶς τε παριστάμενοι, ἀπαύστος δεήσεις ὑπὲρ τοῦ κόσμου, μάλιστα δὲ τῆς χώρας ταύτης, (ἐν ᾗ καὶ ἠγωνίσαντο·) συμπαθῶς προσφέρουσι, καὶ λυτροῦνται αὐτὴν ὅσῶραι, ἐξ ἐχθρῶν ὁρατῶν καὶ ἀοράτων, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὁ διὰ σὲ Θεοπάτωρ. Εἴσοδος. Φῶς ἱλαρόν. Τὸ προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγέλει ταῦτα ἐν αὐτοῖς, ἢ τὰ ἐξ ἀρχῆς τὶς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν



τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην. Ἵνα γνῶτε καὶ πιστεύσητέ μοι. καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι. Οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος, ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς ὁ ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· Ἔδοξαν, ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς· καὶ τῷ βραχίονι

ΚΟΡΓΙΑΛΕΝΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΔΩΡΗΤΩΡ ΚΤΗΤΟΡΗΣ ΠΑΝΑΓΗΣ

ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυνον ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· οὐ ἀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσεις κατ' αὐτῶν ὕδωρ θαλάσσης· Ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιστρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ ὑψίστου.

Εἰς τὴν λιτήν. Ἰδιόμελα τῶν Ἁγίων· ἦχος α'.

Δεῦτε τῆς οὐρανίου Τριάδος οἱ λατρευταί, καὶ τῆς ὀρθοδοξίας οἱ τρόφιμοι, τὴν ἐπίγειον δυάδα τῶν Ἀθλοφόρων, τῶν ὑπὲρ τῆς ὀρθοδόξου πίστεως ἡμῶν καλῶς ἀγωνισαμένων ὕμνοις τιμήσωμεν, Ἰωνᾶν φημὶ τὸν ἀοίδιμον, καὶ Βαραχήσιον τὸν θεσπέσιον· οὗτοι γὰρ ἐπὶ γῆς, ὡς Ἄγγελοι ἐν σώμασι πρῶτον πολιτευσάμενοι, τὰ πάθη τε τῆς σαρκὸς τῷ λόγῳ νουνεχῶς ὑποτάξαντες δι' ἀσκήσεως, ὕστερον δι' ἀθλήσεως, ἀπὸ γῆς εἰς οὐρανὸν μετέβησαν, καὶ πρεσβεύουσι νῦν τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'

Οἱ ἀκαθαίρετοι πύργοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ στύλοι ἀκράδαντοι τῆς οἰκουμένης, θεῖος Ἰωνᾶς, καὶ σεπτὸς Βαραχήσιος, τοῦ Κυρίου οἱ μάρτυρες, σήμερον πρὸς εὐωχίαν συγκαλοῦσι πάντας τοὺς πιστούς, τράπεζαν ἡμῖν τῶν ἀγώνων αὐτῶν παρατιθέμενοι λαμπράν. Τοὺς γὰρ ἀθλητικοὺς στεφάνους, παρὰ τοῦ ἀγωνοθέτου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εἰληφότες ὡς ἀθληταί, ἀπὸ γῆς εἰς οὐρανοὺς ἀπέπτησαν, καὶ νῦν Ἀγγέλοις τοῖς Ἁγίοις συγχορεύοντες, πρεσβεύουσιν ἐκτενῶς ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Ἀθλοφόροι πανένδοξοι, τοῦ οὐρανίου βασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν εὐσθενεῖς στρατιῶται, Ἰωνᾶ καὶ Βαραχήσιε, τῆς χώρας ταύτης οἱ πολιοῦχοι· καὶ φύλακες, ἐμφυλίων καὶ ἀλλοφύλλων πολέμων ῥύσασθε ταύτην, ἄχρι τῆς συντελείας τοῦ αἰῶνος ἀπολιόρκητον φυλάττοντες, ταῖς πρὸς Θεὸν θερμαῖς καὶ ἀπαύστοις εὐχαῖς ἡμῶν· ὅπως ἡμεῖς οἱ κάτοικοι αὐτῆς λυτρούμενοι παντὸς κινδύνου καὶ θλίψεως, καταχρέως τιμῶμεν, κατ' ἔτος τὴν σεβάσμιον καὶ πανίερον μνήμην ὑμῶν.

Ἦχος ὁ αὐτός.

Μάρτυρες πανεύφημοι, τῶν ἀλγεινῶν οὐδὲν τῆς τοῦ Χριστοῦ ἀγάπης ὑμᾶς χωρίσαι ἴσχυσε· νευρωθέντες γὰρ σθένει θεϊκῷ δι' ἀσκήσεως, πρὸς ἀγῶνα τὸν καλὸν θαρσαλέως ἐχωρήσατε, πολλὰς δὲ καὶ πολυειδεῖς βασάνους ὑπομείναντες στερρῶς, παραδόντες τε τὰ σώματα ὑμῶν αἰκισμεῖς τε καὶ μάστιξι κατῃσχύνατε, καὶ ἐθανατώσατε ὄφιν τὸν πολυμήχανον. καὶ νῦν ἐν οὐρανοῖς Ἰωνᾶ καὶ Βαραχήσιε, διπλοῖς τοῖς στεφάνοις ἀσκήσεως καὶ ἀθλήσεως τοῖς ἀφθάρτοις κοσμηθέντες, τῇ σεπτῇ καὶ προσκυνητῇ Τριάδι ἐν πολλῇ παρρησίᾳ παρίστασθε, ἀδιαλείπτως πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Τοῦ μεγάλου βασιλέως Χριστοῦ τοῦ Θεοῦ, στρατιῶται γενναῖοι Ἰωνᾶ καὶ Βαραχήσιε, ὑμεῖς τῶν γηΐνων πάντων σο-

φῶς καταφρονήσαντες, ἔτι ἐν πηλίνοις σώμασιν ὄντες, ἐπὶ γῆς ὡς ἀσώματοι βιώσαντες, τῶν τῆς σαρκὸς παθῶν κεκρατήκατε· ἀθλήσαντες δὲ γενναίως ὑπὲρ τῆς πίστεως, τῷ Θεῷ εὐηρεστήσατε· ὅθεν ζωὴν τὴν ἄληκτον ἐν οὐρανοῖς εἰληφότες, πρεσβεύσατε διὰ παντὸς πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα ἦχος : πλ : α'.

Ἐπέλαμψε σήμερον ἀδελφοί, τῶν τοῦ Χριστοῦ Ὁσιομαρτύρων, ἡ ἐτήσιος καὶ σεβάσμιος μνήμη, θείου Ἰωνᾶ, καὶ Βαραχησίου τοῦ κλεινοῦ, πάντας τοὺς πιστοὺς σελαγίζουσα· δεῦτε οὖν φιλέορτοι χρεωστικῶς αὐτοὺς τιμήσωμεν. Οὗτοι γὰρ ὡς καλοὶ στρατιῶται μετὰ τὴν ἄσκησιν, κατὰ τῶν τυράννων ἠνδρίσαντο, καὶ ψυχῆς ἀνδρείᾳ τούτους κατῄσχυναν, μιμηταὶ γενόμενοι τοῦ πάθους τοῦ Σωτῆρος Χριστοῦ, παρ' οὗ καὶ τοὺς στεφάνους διπλοὺς ἀμαραντίνους ἐδέξαντο, συμβασιλεύοντες αὐτῷ εἰς αἰῶνας ἅπαντας.

Καὶ νῦν. Μακαρίζομέν σε. Εἰς τὸν Στίχον. Προσόμοια.
ἦχος δ'. Ἔδωκας σημείωσιν.

Μάρτυρες καλλίνικοι ὦ Ἰωνᾶ θεορρῆμόν τε, καὶ κλεινὲ Βαραχήσιε, οἱ γρήγοροι φύλακες, καὶ δεινοὶ προστάται ταύτης τῆς χώρας, καὶ πολιοῦχοι ἱερεῖς, πολέμους ταύτης νῦν καταπαύσατε, πρεσβείαις ταῖς πρὸς Κύριον, καὶ ταῖς εὐχαῖς ὑμῶν Ἅγιοι, ἵνα πίστει τιμήσωμεν τὴν σεπτὴν ὑμῶν ἄθλησιν.

Θαυμαστὸς ὁ Θεός.

Μάρτυρες πανένδοξοι, Χριστοῦ τοῦ πάντα ἰσχύοντος, Ἰωνᾶ ὦ θεσπέσιε, κλεῖνε Βαραχήσιε, ξυνωρίς ἁγία, τῆς Σεπτῆς Τριάδος, ταύτην τὴν χώραν ἐσαεί, εἰρηνικήν τε σῴαν φυλάξατε, ὅπως ἡμεῖς σωζόμενοι, κινδύνων πάντων καὶ θλίψεων, ἐτησίως τιμήσωμεν τὴν σεπτὴν ὑμῶν ἄθλησιν.



Μάρτυρες ἀήττητοι, ὑμεῖς τὰ πάθη νεκρώσαντες, τῆς σαρκὸς δι' ἀσκήσεως, Χριστὸν ἐκηρύξατε, ἐναντίον πάντων, τυράννων ἐχθίστων, καὶ παρανόμων δυσσεβῶν. Ὅθεν ἀξίως νῦν ἀπειλήφατε, στεφάνους τῆς ἀσκήσεως, καὶ τῆς καλῆς ἐναθλήσεως, καὶ πρεσβεύετε ἄπαυστα, ὑπὲρ ἡμῶν πρὸς τὸν Κύριον.

Δόξα ἦχος πλ: β'.

Μαρτύρων δυάδα, τῶν εὐσεβούντων οἱ δῆμοι, Ἰωνᾶν φημὶ τὸν θεῖον, καὶ σεπτὸν Βαραχήσιον δεῦτε τιμήσωμεν, οὗτοι γὰρ ἀσκήσει πρῶτον, τὸν ἐχθρὸν ἐτροπώσαντο· ὕστερον δὲ δι' ἀθλήσεως, καὶ πολλῶν ἀγώνων εἰς οὐρανοὺς ἀπὸ γῆς μετέβησαν· καὶ νῦν ἐν οὐρανοῖς, διπλοῦς τοὺς ἀμαραντίνους στεφάνους, παρὰ τοῦ μισθαποδότου Θεοῦ κομισάμενοι, ἀδιαλείπτως πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον ἦχος : α'. Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἄμπ:
Τοῦ λίθου σφραγισθέντος.

Μαρτύρων τὴν διάδα ἐπαξίως τιμήσωμεν, θεῖον Ἰωνᾶν καὶ σεπτὸν Βαραχήσιον, ἀσκήσαντας μὲν πρότερον καλῶς, ἀθλήσαντας δὲ ἔπειτα στερρῶς. Διὰ τοῦτο καὶ ὁ ἀθλοθέτης Χριστὸς ἔστεψεν αὐτῶν τὰς κάρας· δόξα τῷ δυναμώσαντι αὐτούς· δόξα τῷ καταστέψαντι· δόξα τῷ ἐνεργοῦντι δι' αὐτῶν πᾶσαν ἰάματα·

Εἶτα ἡ εὐλόγησις τῶν ἄρτων, καὶ ἀπόλυσις.

Εἰς τὸ ὄρθρον. Θεὸς Κύριος. Τροπάριον τῶν Ἁγίων, καὶ Θεοτοκίον. Μετὰ τὴν α'. στιχολογίαν, Καθίσματα τῶν Ἁγίων.
ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Μάρτυρας τοὺς θείους τοῦ Χριστοῦ εὐφημήσωμεν, θεῖον Ἰωνᾶν, καὶ σεπτὸν Βαραχήσιον· Ἀσκήσει γὰρ λάμψαντες τὸ πρίν, τὰ πάθη τῆς σαρκὸς ἐνίκησαν· ἐναθλήσαντες δὲ τὸ δεύτερον καλῶς, τοῦ δολίου τὰ ἔνεδρα διέλυσαν. Δόξα τῷ

ἐνισχύσαντι αὐτούς· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐκτελοῦντι δι' αὐτῶν, ἄπειρα θαύματα. δίς.

Μετὰ τὴν β'. στιχολογίαν. ἦχος πλ. καὶ νῦν Θεοτοκίον.
Τὸν συνάναρχον λόγον.

Τῶν Ἁγίων Μαρτύρων τὴν μνήμην σήμερον, συνελθόντες ἐν ὕμνοις πιστοὶ τιμήσωμεν· ὅτι ἐνίσχυσεν αὐτούς, τῇ δυνάμει τοῦ Σταυροῦ, δεσπότης ὁ τῶν ἁπάντων, καὶ νενικήκασι καλῶς ἀρχέκακον τὸν βελίαρ, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Χαῖρε πύλη Κυρίου μετὰ τὸν πολυέλεον,
Κάθισμα ἦχος γ'. Τὴν ὡραιότητα.

Τοὺς ἐκνικήσαντας ἀσκήσει πρότερον, ἐχθρὸν τὸν κάκιστον, εἶτα αἰσχύναντας τύραννον ἄθεον καλῶς, Μάρτυρας τοὺς ἐνδόξους, Θεῖον Βαραχήσιον, Ἰωνᾶν θεορρήμονα σήμερον ὑμνήσωμεν, ἐν ἐνθέοις τοῖς ᾄσμασι· πρὸς οὓς καὶ εἴπωμεν πιστοὶ πάντες· χαίροις ὦ δυὰς μακαρία.

Καὶ νῦν· τὴν ὡραιότητα.
Οἱ Ἀναβαθμοὶ τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.
προκείμενον ἦχος δ'. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ ἐθαυμάστωσεν ὁ ζήτει εἰς τὴν ἑορτὴν τοῦ ἁγίου Γεωργίου, ὁ Πᾶσα πνοή. Εὐαγγέλιον· τῇ κγ'. ἀπριλλίου
Εἶτα ὁ Ν. Δόξα. Ταῖς τῶν Ἀθλοφόρων καὶ νῦν Ταῖς τῆς Θεοτόκου.
Ἐλέησόν με ὁ Θεός· ἦχος πλ. β'.

Σήμερον ἡ Οἰκουμένη πᾶσα, ταῖς τῶν Ἀθλοφόρων αὐγάζουσα ἀκτῖσι, καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία τοῖς ἄνθεσιν ὡραϊζομένη, βοᾷ πρὸς αὐτούς. Θεράποντες Χριστοῦ, καὶ προστάται θερμότατοι, μὴ ἐλλίπητε πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον.



Οἱ κανόνες συνήθως· τῶν Ἁγίων εἰς δ'. ὁ κανὼν τῶν Μαρτύρων, καὶ τῆς Θεοτόκου· ὁ Κανὼν τῶν Μαρτύρων, οὗ ἡ ἀκροστιχίς
Αἶνον προσοίσω τοῖς Θεοῦ παραστάταις· ἰωσήφ
ᾠδὴ α'. ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος δεξιά

Αἴγλη φωτιζόμενοι ἀεὶ τῆς τρισηλίου λαμπάδος Μακάριοι, ὅλον μὲ φωτίσατε, καὶ τὴν ἀχλὺν τῆς ἀγνωσίας λύσατε, ὅπως τὴν φωσφόρον ὑμῶν ὑμνήσω πανήγυριν.

Ἱερολογοῦντες ἱερῶς, τὰ τοῦ Θεοῦ ἱερώτατα λόγια, πᾶσαν τὴν ἀνίερον τῶν διωκτῶν κακίαν ἀπεκρούσασθε, καὶ ἱερωτάτως ἀθλήσαντες ἐδοξάσθητε.

Νόμοις ἀσεβέσιν ἀθληταί, τῆς εὐσεβείας ἀνδρικῶς ἀντετήκατε, τῶν παρανομούντων τὰ χαλεπὰ ἀπενεγκόντες βάσανα. Μάρτυρες νομίμως, παρὰ Κυρίου ἐστέφθητε.

Θεοτοκίον

Ὄρος σε κατάσκιον ποτὲ ὁ Ἀββακοὺμ ἐλλαμφθεὶς ἐθεάσατο, μήτηρ ἀπειρόγαμε ἐξ ἧς Θεὸς σωματωθεὶς ἐπέφανεν, ἀρετῇ καλύψας, ὡς ἀληθῶς τὰ οὐράνια.

ᾠδὴ γ'. ὁ Εἱρμός Ὁ μόνος εἰδὼς τὴν τῶν.

Νευρούμενοι πόθῳ Θεϊκῷ, ἀσκήσει ὑπετάξατε, τὸ τῆς σαρκὸς μακάριοι φρόνημα· ἀθλήσαντες δὲ κατεπαλαίσατε, δυσμενῆ ἀσώματον, πόνων ἐπιδόσει, καὶ νομίμως ἐστέφθητε Ἅγιοι.

Πόθῳ τὸ παθεῖν ὑπὲρ Χριστοῦ, ὑπήνεγκας στερρότατα, τοὺς ῥαβδισμοὺς παμμάκαρ τοῦ σώματος, τυπτόμενός τε καὶ συντριβόμενος, καὶ κατατεινόμενος Ἰωνᾶ Πανόλβιε, τῶν ἁγίων ἀγγέλων συνόμιλε.

Ῥωννύμενος σθένει θεϊκῷ, πυρούμενος ἐν χάριτι, τοῦ παντουργοῦ πανόλβιε πνεύματος, τὰς ἀναρτήσεις τὸ πῦρ τὰς

μάστιγας, ἀνδρικῶς ὑπήνεγκας μάρτυς Βαραχήσιε, ὑπὸ πάντων πιστῶν θαυμαζόμενος.

Θεοτοκίον.

Ὁ μόνος οἰκῶν τοὺς οὐρανούς, τὴν μήτραν σου κατῴκησεν, ὑπερβολῇ παρθένε χρηστότητος, καὶ σὰρξ ὠράθη ἐκ σοῦ τικτόμενος, ἀλλ- αὐτὸν ἱκέτευε, πάσης περιστάσεως, Παναγία ρυσθῆναι τοὺς δούλους σου.

Κάθισμα τῶν Μαρτύρων ἦχος πλ δ'. Τὴν σοφίαν καὶ λόγον.

Τοὺς γενναίους ὁπλίτας καὶ θαυμαστούς, τοῦ δεσπότου τῶν ὅλων καὶ ποιητοῦ, συμφώνως αἰνέσωμεν, τῶν εὐσεβῶν τὰ πλήθη, Βαραχήσιον πίστει, Ἰωνᾶν τὸν ἄριστον, εὐσεβείας κήρυκα, καὶ πρόμαχον ἔνδοξον, ὀρθοδόξων πάντων· πρὸς οὓς καὶ βοήσωμεν, Ἀθλοφόροι πανένδοξοι, τῆς τριάδος ὑπέρμαχοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθε, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Ἕτερον ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Μαρτύρων καρτεροὺς ὑπομείναντες πόνους, πρὸς ἄπονον ζωὴν μετηνέχθητε ὄντως, καὶ νῦν ταῖς εὐχαῖς ὑμῶν πάντα, πόνον κουφίζετε, μεγαλώνυμοι, ἐκ τῶν πιστῶς προσιόντων τῇ σορῷ ὑμῶν ἣν ἀσπαζόμενοι πόθῳ, ὑμᾶς μακαρίζομεν.

Καὶ νῦν Θεοτ. Μαρία τὸ σεπτόν.

Συλλαβοῦσα ἀφλέκτως, τὸ πῦρ τῆς Θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Ὠδὴ δ'. Εἱρμὸς ἄλλος. Ὄρος σε τῇ χάριτι τῇ θείᾳ.

Συμφώνως Ἠλίαν σὺν Βεήθη καὶ Ἄβιβον, Λάζαρον, Μάριν, Μαρωθᾶν, Ναρσῆν καὶ Σάββαν, Ζανιθᾶν, καὶ τὸν Βαραχή-



σιον καὶ Ἰωνᾶν θεοπρεπῶς ἀνυμνήσωμεν, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ ἐναθλήσαντας.

Ὁσίως παμμάκαρ Ἰωνᾶ σε γεραίρομεν· μετὰ γὰρ πλείστους αἰκισμούς, εἰς παγετὸν ἀπορριφείς, γενναίως ὑπέμεινας, τῇ τοῦ Θεοῦ καταθαλπόμενος χάριτι, τὸν χειμῶνα τῆς πλάνης τροπούμενος.

Ἰσχύϊ Παμμάκαρ Θεϊκῇ Βαραχήσιε, τὰς πυρακτώσεις ἐνεγκών, τὰς ἐκ μολύβδου ἀνδρικῶς, τὸ ὄμμα ἀνέτεινας πρὸς τὸν Χριστὸς ἀναψυχὴν εἰσδεχόμενος σωτηριώδη. διό σε γεραίρομεν.

Σοφίας Μάρτυρες πλησθέντες τῆς τοῦ Πνεύματος, πάντας σοφοὺς καὶ δυνατούς, πυρσολατρῶν τῶν δυσμενῶν, σαφῶς ἐτροπώσαντο, τὸ τοῦ Θεοῦ ἀνακηρύττοντες ὄνομα, οὓς ἐν αἰνέσει πιστοὶ μακαρίσωμεν.

Ὡραῖοι τοῖς στίγμασι τοῖς θείοις ἐδείχθητε Μάρτυρες ἔνδοξοι Χριστοῦ· ὅθεν τὰ στίγματα βροτῶν, καὶ πάθη ἀνίατα, ἀνελλειπῶς ἰᾶσθε καὶ θεραπεύετε, τὰς ἀσθενείας καὶ νόσους ἐν χάριτι.

Θεοτοκίον

Τὸ ὄρος ὁ Προφήτης Δανιὴλ ὃ τεθέαται· ἐξ οὗ λίθος ὁ Χριστὸς ἐτμήθη ἄνευθεν χειρός, συντρίψας τὰ εἴδωλα, καὶ καθελὼν τὰ τῶν δαιμόνων φρυάγματα, σὺ εἶ Παρθένε· διό σε δοξάζομεν.

Ὠδή, ε'. Εἱρμὸς ἄλλος, Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ὡμιλήσας τῷ φωτὶ τῷ μεγάλῳ φῶς δεύτερον. ἐγνωρίσθης, ἀμαυροῦν δυσσεβούντων προστάγματα, Ἰωνᾶ θεσπέσιε. δεθεὶς σχοινίῳ δὲ, τὴν πλάνην πᾶσαν διελύσας χάριτι.

Ἰώμενος τὰ ἡμῶν ὁ Χριστὸς παραπτώματα, ἐκρεμάσθη ἐπὶ ξύλου Σταυροῦ ἀγαθότητι· τοῦτον δὲ μιμούμενος, ὁ Βαρα-

χήσιος κρέμαται, πάθει σεπτῷ καλλυνόμενος.

Στρεβλούμενος, Ἰωνᾶ καὶ δακτύλους κοπτόμενος, ἀνέμελπες, τῷ Θεῷ ὑμνῳδίαν γηθόμενος, τῷ ἐνδυναμοῦντί σε μετὰ σαρκός, ἐχθρούς ἀσάρκους καταπατεῖν διὰ πίστεως.

Θεοτοκίον

Θαυμάζουσα, τὸν ἐκ ταύτης ἀρρήτως τικτόμενον, ἡ πάναγνος, κατεπλήττετο καὶ ἐμεγάλυνε, καὶ βοῶσα ἔλεγε, πῶς ἐν ἀγκάλαις σε κατέχω τέκνον, τὸν πάντα κατέχοντα.

Ὠδὴ ς'. ἄλλος Εἱρμός. Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη.

Ἐνεύρου σε Χριστὸς ἀγωνιζόμενον, δορὰν γὰρ ἀφαιρούμενος, παναοίδιμε τῆς κάρας Ἰωνᾶ, ἔφερες ἀνδρείως τὴν τοῦ ὄφεως, καταπατῶν, δολίαν κάραν, καὶ νῦν ἀλάστορα.

Ὁ νοῦς σου ἀκλινὴς ἀποτμηθείσης σου, τῆς γλώττης μένει ὅσιε· καὶ τοῖς αἵμασιν ἡγίασαι ἡ γῆ, τοῖς ἐκκενωθεῖσι δι' ἀγάπησιν, τοῦ ἐν Σταυρῷ, τὸ θεῖον αἷμα κενώσαντος.

Ὑμνήσωμεν πιστοὶ Ἠλίαν Ἄβιβον, Ναρσῆν καὶ Μάρην, Λάζαρον, σὺν Βεήθῃ Μαρωθᾶν καὶ Ζανιθάν, Σάββαν καὶ τὸν μέγαν Βαραχήσιον, καὶ Ἰωνᾶν, τοὺς καλλινίκους καὶ Μάρτυρας.

Θεοτοκίον.

Παλάτιον Θεοῦ ἐδείχθης Δέσποινα, τοῦ πάντων βασιλεύοντος· ὃν ἱκέτευε, λῃστῶν με πονηρῶν, ἤδη γεγονότα καταγώγιον, ἀποκαθάραι, καὶ σῶσαι με Ἄχραντε.

Κοντάκιον ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἑορτάζει σήμερον ἡ Ἐκκλησία, τὴν λαμπρὰν πανήγυριν τῶν ἀηττήτων ἀθλητῶν, Βαραχησίου καὶ Ἰωνᾶ· διὸ καὶ χαίρει τὸν κτίστην δοξάζουσα.



Ὁ Οἶκος.

Τοὺς ὁμοζήλους Μάρτυρας, τοὺς νικῶντας τοὺς βασιλεῖς Δεῦτε οὖν οἱ πιστοὶ ἐπαινέσωμεν διηνεκῶς· οὗτοι γὰρ τὰς τρυφὰς τοῦ βίου μετεστάθησαν εἰς τοὺς οὐρανίους σκηνάς. Διὸ καὶ ἡ κτίσις θεωροῦσα· ἐβόα, τὸν Κύριον δοξάζουσα.

Τῷ αὐτῷ μηνὶ κθ'. Τῶν Ἁγίων ἐνδόξων καὶ μεγαλομαρτύρων Βαραχησίου καὶ Ἰωνᾶ

στιχ. Ῥίπτονται ἐκ Βαράθρων συντόνως,
Βαραχήσιος καὶ Ἰωνᾶς εὐφρόνως.
Εἰκάδι τελειοῦνται ἐννάτῃ καὶ οἱ δύω

Ταῖς αὐτῶν ἁγίων πρεσβείαις Χριστὲ ὁ Θεός.

Ὠδὴ ζ'. Εἱρμὸς ἄλλος. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Ἀποσκοπῶν εἰς τὸν μόνον Κύριον, σώζειν δυνάμενον σοφὲ οὐκ ἐφλέχθης προσομιλῶν, πίσσης πυρακτώσεσι δρόσον θείας χάριτος ὦ Ἰωνᾶ κομιζόμενος ὥσπερ οἱ τρεῖς νεανίαι ποτὲ. ὅθεν ὑμνοῦμεν σε.

Ῥώμῃ Θεοῦ Ἰωνᾶ ρωννύμενος, ἤνεγκας βάσανα πικρά. Ἡσαΐας δὲ ὡς τὸ πρὶν ἔχαιρες πριζόμενος, τέλος τὸ μακάριον ἀναβοῶν καὶ δεχόμενος. ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος

Ἔδει τὰ σὰ Μάρτυς προτερήματα, ἡ Ἐκκλησία τοῦ Θεοῦ, μεγαλύνουσα τοὺς μακροὺς ἄθλους οὓς ὑπένεγκας, θάνατον τόν τίμιον, καὶ προσκυνεῖ τῶν λειψάνων νῦν, τὴν σορὸν ἐξ ἧς βρύει ἡμῖν, ψυχῶν ἰάματα

Σὺ ἀνδρικῶς Μάρτυς Βαραχήσιε, καταπατῶν τοῦ πονηροῦ, ἀκανθώδεις ἐπιβουλὰς, ἔφερες συρόμενος, καὶ κατακεντούμενος, τοῖς ἀκανθώδεσι βέλεσι, τὸν αἰνετὸν ἀναμέλπων, Θεὸν τὸν ὑπερένδοξον.

Θεοτ.

Τὴν ἐν ἐμοὶ ραθυμίαν Δέσποινα, καὶ νυσταγμὸν τὸν χαλεπὸν, ταῖς ἀγρύπνοις σου πρὸς Θεὸν, καὶ σεπταῖς δεήσεσιν

εὔχραντε ἀπέλασον, καὶ μελῳδοῦντά με οἴκτειρον. ὁ αἰνετὸς τῶν Πατέρων Θεὸς καὶ ὑπερένδοξος

ᾨδὴ η΄. Εἱρμὸς ἄλλος Ἐν καμίνῳ Παῖδες Ἰσραὴλ

Ἐκαθέκτοις χρώμενος ὁρμαῖς, ἐχθρὸς ὁ δολιόφρων, καλάμοις σου περιάπτει πανάοιδιμε, πλευρὰς, δεσμῶν καὶ συνθλίβων σε, καὶ τὰς σάρκας ξαίνων καὶ τέμνων, καὶ μάρτυρα δεικνύων, τοῦ Παμβασιλέως Χριστοῦ εἰς τοὺς αἰῶνας

Τοῖς δεσμοῖς σου λύεις πονηρὰ, δεσμὰ τῆς ἀθεΐας, ταθεὶς καὶ συντριβεὶς σου, τὰ τοῦ σώματος ὀστᾶ μάρτυς Βαραχήσιε, τὴν ἀπάτην πᾶσαν συντρίβεις, καὶ ὡς χοῦν λεπτύνεις, μέλπων σὲ δοξάζω Χριστὲ εἰς τοὺς αἰῶνας

Ἀπορήσας σοῦ τῇ καρτερᾷ ἐνστάσει ὁ παράφρων, βραζούσαις σε καταφλέγει καταπόσεσι θερμῶς, μάρτυς Βαραχήσιε μελῳδοῦντα. πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας

Ἱερεῖα τέλεια Θεῷ καὶ θύματα εὐώδη, ὁλόκληραι προσφοραί τε προσηνέχθητε, ὁμοῦ κραυγάζοντες μάρτυρες. εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον

Θεοτ.

Συντριβεῖσαν φύσιν τῶν βροτῶν, τῇ πάλαι παραβάσει, ἀνέπλασας ὑπὲρ φύσιν, καὶ ἐθέωσας, Ἁγνὴ, τῷ τόκῳ σου ψάλλουσαν· πάντα τὰ ἄργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ Εἱρμὸς ἄλλος. Τύπον τῆς Ἁγνῆς λοχείας σου

Ἴδε φωταυγὴς πανήγυρις, φωτοειδῶν Μαρτύρων ἔλαμψε σήμερον. νέφη πονηρὰ τῆς ἁμαρτίας σκεδάζουσα, καὶ φωτίζουσα θείῳ ἐν πνεύματι πιστῶν τὰς διανοίας, ταύτην προθύμως ἑορτάσωμεν



Ὥσπερ δύω ἀνατέλλοντες, φωτοειδεῖς ἀστέρες, πᾶσαν φωτίζα τὴν ὑπ' οὐρανὸν, ταῖς τῶν ἀγώνων λαμπρότησιν, Ἰωνᾶ καὶ σοφὲ Βαραχήσιε. διό με τὸν ἐν σκότει, τῆς ἁμαρτίας καταυγάσετε.

Στύλοι ἐκκλησίας ὤφθητε, ἀπεριτρέπτως ταύτην διαβαστάζοντες, Ἀβιβος ὁμοῦ Ναρσῆς καὶ Μάρης Ἠλίας τε Ἰωνᾶς σὺν Βεήθη καὶ Λάζαρος, καὶ Ζανιθὰς καὶ Σάββας, καὶ Μαρωθᾶς καὶ Βαραχήσιος.

Ἤδη μετ' Ἀγγέλων ἅγιοι, παρεστηκότες θρόνῳ τῆς δόξης πάντοτε, καὶ ταῖς ἀστραπαῖς τῆς τρισηλίου λαμπρότητος, αὐγαζόμενοι πάντας φωτίσατε, τοὺς πίστει τὴν φωσφόρον, ὑμῶν γεραίροντας πανήγυριν.

Φεῖσαι τοῦ λαοῦ σου Κύριε, καὶ ἧς ἐκτήσω ταύτης κληρονομίας σου ταῖς ὑπὲρ ἡμῶν τῆς σὲ τεκούσης Θεόπαιδος παρακλήσεσιν ἐπικαμπτόμενος. ἵνα σε ὡς Δεσπότην καὶ πανοικτίρμονα δοξάζωμεν

Ἐξαποστειλάριον ἦχος γ. Ο οὐρανὸν τοῖς ἄστροις

Δυὰς ἁγίων Μαρτύρων, ἡ παρεστῶσα Τριάδι, ὁμοουσίῳ τε καὶ ἁγίᾳ δέησιν ποιοῦ ὁσημέραι, ὑπὲρ τῶν πίστει καὶ πόθῳ. ὑμᾶς ἀεὶ εὐφημούντων.

Θεοτόκιον

Φιλάγαθε παναγία, φωτομήτωρ Μαρία. τὸν ποιητὴν ἡ τεκοῦσα, ἀνερμηνεύτως παρθένε, δούλους τοὺς σοὺς ἐκ κινδύνων λύτρωσαι Θεοτόκε.

Εἰς τοὺς αἴνους ἱστῶμεν δ. καὶ ψάλλομεν προσόμοια τῶν Μαρτύρων ἦχος α δευτεροῦντες τὸ πρῶτον τῶν οὐρανίων ταγμάτων.

Τὴν φωταυγῆ τῶν Μαρτύρων, μνήμην τελοῦντας πιστῶς, Θεῷ τῷ παναγάθῳ, καθαραῖς ταῖς καρδίαις, δόξαν δεῖ ἀ-

ναπέμπειν, καί κράζειν αὐτῷ, ὑπεράγαθε κύριε, τῶν Ἀθλοφόρων σου τούτων ταῖς προσευχαῖς, ἐκ τῶν κινδύνων ἡμᾶς λύτρωσαι

Τῶν εὐσεβούντων τὰ πλήθη δεῦτε συνδράμωμεν, πιστῶς ἐπιτελέσαι τὴν πανσέβαστον μνήμην, σοφοῦ Βαραχησίου. κλεινοῦ Ἰωνᾶ καὶ συναθλησάντων αὐτοῖς, μεγαλοφώνως κραυγάζοντες πρὸς αὐτοὺς ἐκ τῶν δεινῶν ἡμᾶς λυτρώσασθε.

Τοὺς θαυμαστὰς ἀθλοφόρους πάντες τιμήσωμεν τῶν φιλοέρτων δῆμος οἱ τὴν χώραν οἰκοῦντες, ταύτην τὴν ἀθλίαν καὶ ἐν ἐλεεινῇ καταστάσει ὑπάρχουσαν, ἵν᾽ ὁ Θεὸς αὐτὴν σώσῃ ἐκ τῶν πολλῶν, ἐπηρειῶν τοῦ πολεμήτορος

Δόξα ἦχος πλ β.

Τοὺς στεῤῥοὺς ἀθλοφόρους, καὶ γενναίους προμάχους. τῆς πίστεως Βαραχήσιον καὶ Ἰωνᾶν σὺν τοῖς συναθληταῖς αὐτῶν, καταχρέως εὐφημήσωμεν. Ὅτι πᾶσαν μανίαν τῶν ἀθέων τυράννων, γενναίως σὺν τοῖς εἰδώλοις κατήργησαν. Διὸ εὐχαῖς αὐτῶν Χριστὲ ὁ Θεὸς τὴν εἰρήνην, δώρησαι τῷ κόσμῳ καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος

Καὶ νῦν Θεοτ Θεοτόκε σὺ εἶ ἄμπελος

Δοξολογία μεγάλη καὶ ἀπόλυσις. εἰς τὴν λειτουργίαν τυπικὰ, καὶ εἰς τοὺς Μακαρισμοὺς, τῶν Μαρτύρων ᾠδὴ γ΄. καὶ ϛ΄. Κοινωνικὸν, εἰς μνημόσυνον αἰώνιον. Ὁ Ἀπόστολος. Προκείμενον ἦχ ς δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις. ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θὸν. Πράξεων τῶν Ἀποστόλων, Ἀδελφοὶ οἱ ἅγιοι πάντες.

Εὐαγγέλιον κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων,

Κ.Χ.Γ.

ΤΕΛΟΣ